**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 4 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=3

V. 81-95

**ΠΥΡΡΙΑΣ**

πάρες, φυλάττου, πᾶς ἄπελθ᾽ ἐκ τοῦ μέσου·

μαίνεθ᾽ ὁ διώκων, μαίνεται. (ΣΩ.) τί τοῦτο, παῖ;

(ΠΥ.) φεύγετε. (ΣΩ.) τί ἐστι; (ΠΥ.) βάλλομαι βώλοις, λίθοις·

ἀπόλωλα. (ΣΩ.) βάλλει; ποῖ, κακόδαιμον; (ΠΥ.) οὐκέτι

ἴσως διώκει; (ΣΩ.) μὰ Δία. (ΠΥ.) ἐγὼ δ᾽ ᾤμην. (ΣΩ.) τί δαὶ

λέγεις; (ΠΥ.) ἀπαλλαγῶμεν, ἱκετεύω σε. (ΣΩ.) ποῖ;

(ΠΥ.) ἀπὸ τῆς θύρας ἐντεῦθεν ὡς πορρωτάτω.

Ὀδύνης γὰρ ὑὸς ἦ‹ν›· κακοδαιμ‹ον›ῶν τις ἢ

μελαγχολῶν ἄνθρωπος οἰκῶ[ν ἐνθαδ]ὶ

τὴν οἰκίαν πρὸς ὅν μ᾽ ἔπεμπ̣[ες

μεγάλου κακοῦ· τοὺς δακτύλους [κατέαξα γὰρ

σχεδόν τι προσπταίων ἅπα[ντας

‹ΣΩ.› ἐλθών τί πεπαρῴνηκε δεῦ[ρο; [ΧΑΙ.] παραφρονῶν

εὔδηλός ἐστι. (ΠΥ.) νὴ Δί᾽, ἐξώλ[ης ἄρα,

Σώστρατ᾽, ἀπολο[ίμην· ἔχε] δέ πως φυλακτικῶς.